**αἰδεῖσθαι.** Ἐντρέπομαι/σέβομαι, feel shame/respect, Δημόκριτος 264 *μηδέν τι μᾶλλον τοὺς ἀνθρώπους αἰδεῖσθαι ἑωυτοῦ . . . ἀλλ' ἑαυτὸν μάλιστα αἰδεῖσθαι.* Πρβλ. *αἰσχύνεσθαι.* ‖ **τὸ αἰδεῖσθαι.** Αἰδὼς/σεβασμός, pudence/respect, Δημόκριτος 179 *ὅπερ μάλιστα τὴν ἀρετὴν συνέχει, τὸ αἰδεῖσθαι.* Πρβλ. *αἰδώς.*

**ἀίδηλος.** Ἀφανιστικός, eradicative/ravaging, Παρμενίδης 10.3 *ἠελίοιο λαμπάδος ἔργ' ἀίδηλα* Ἐμπεδοκλῆς 109.2 *πῦρ ἀίδηλον.*

**ἀίδιος** (συνών. *ἀέναος, ἀνώλεθρος*). Αἰώνιος/παντοτινός, everlasting, Μέλισσος 7(1) *οὕτως οὖν ἀίδιόν ἐστι καὶ ἄπειρον καὶ ἓν* 8(4) *φαμένοις γὰρ εἶναι πολλὰ καὶ ἀίδια (?) καὶ εἴδη τε καὶ ἰσχὺν ἔχοντα* Ἐμπεδοκλῆς 115.2 *ἔστιν Ἀνάγκης χρῆμα, θεῶν ψήφισμα παλαιόν, ἀίδιον.* Φιλόλαος 6.2 *ἁ μὲν ἐστὼ τῶν πραγμάτων ἀίδιος* Διογένης 7 *καὶ αὐτὸ μὲν τοῦτο καὶ ἀίδιον καὶ ἀθάνατον σῶμα* 8 *καὶ μέγα καὶ ἰσχυρὸν καὶ ἀίδιόν τε καὶ ἀθάνατον.* Πρβλ. *ἀθάνατος.*

**αἰδοῖον** (συν. *γυῖον, μήδεα*). Τὰ γεννητικὰ ὄργανα, genitalia, Φιλόλαος 13 *κεφαλὰ μὲν νόου* (sc. *ἀρχή ἐστι*) . . . *αἰδοῖον δὲ σπέρματος . . . ἐγκέφαλος δὲ* <*σαμαίνει*> *τὰν ἀνθρώπω ἀρχὰν . . . αἰδοῖον δὲ τὰν ξυναπάντων.* ‖ **ᾆσμα αἰδοίοισιν.** Φαλλικὸς ὕμνος, phallic hymn, Ἡράκλειτος 15 *εἰ μὴ Διονύσῳ πομπὴν ἐποιοῦντο καὶ ὕμνεον ᾆσμα αἰδοίοισιν, ἀναιδέστατα εἴργαστ' ἄν.*

**αἰδοῖος.** Σεβαστός, worthy of respect, Ἐμπεδοκλῆς 112.3 *ξείνων αἰδοῖοι λιμένες.*

**Ἀϊδωνεύς.** Ἀϊδωνεὺς/προσωποποίηση ἑνὸς ἀπὸ τὰ τέσσερα ριζώματα, Aidoneus/personification of one of the four roots (rhizomes), Ἐμπεδοκλῆς 6 *Ζεὺς ἀργὴς Ἥρη τε φερέσβιος ἠδ' Ἀϊδωνεὺς Νῆστίς θ'.* Πρβλ. Ἐμπεδοκλῆς 17.18 καὶ A 33 (DK I 289,14-37) *ἀήρ, Ἅδης.*

**αἰδώς.** Αἰδημοσύνη/σεβασμός, pudence/respect, Δημόκριτος 179 *μάλα γὰρ ἐκ τούτων φιλεῖ γίγνεσθαι ἡ αἰδώς.* Πρβλ. τὸ *αἰδεῖσθαι.*

Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ